Τὴν δάφνην τοίνυν τοῦ Ἀποστόλου, ἥν σοι ὡς θῦμα προσφέρω, ἱλαρῷ πρόσδεξαι ὄμματι· καί, εἰ μὲν ταύτην διαφόρων ἀνδρῶν κάλαμοι λαμπρῦναι δοκοῦντες, τοῖς τοῦ μέλανος αὐτὴν κατημαύρωσαν χρώμασι, σὺ πορφυροχρυσόβαψον ταῖς σαῖς ἀκτῖσι. Καὶ γὰρ τοῦ νέου τουτουὶ Ἀσκληπιοῦ τὸ δάφνινον στέμμα ἐν τίνι ἄλλῳ βελτίονι ἀσύλῳ θετέον ἂν εἴη, εἰ μὴ ἐν σοὶ τῇ ἐνδόξῳ μητρὶ τοῦ πατρὸς τῶν ἰατρῶν Ἀπόλλωνος, φημὶ τοῦ σοῦ μεγάλου Ἀλεξάνδρου; ὡς περὶ τριῶν ἤδέ ποτε Ἰωάννης ὁ τῶν ἐξ Ἀβιανῶν ὁ Χῖος, τῆς Κρητικῆς μητροπόλεως κανονικὸς θεολόγος :

Ζεὺς μὲν Ἀλέξανδρος, Παλλὰς Ῥωξάννα, σὺ Φοῖβος·
ὁ κράτος, ἡ σοφίην, αὐτὸς ἴης δὲ σέλας.

Τὸν δαφνοφόρον λοιπὸν τουτονὶ ὡς σὸν γόνον πρόσδεξαι, κἀμὲ τὸν δαφνοκοσμήτορα ὡς σὸν δοῦλον ὑπὸ τὴν σὴν σκέπην διαφύλαξον, καὶ ζῆθι εἰς αἰῶνας, φέγγος χρυσαυγές, τῶν αἰώνων.

Ἐνετίῃσιν, ἔτει ἀπὸ τῆς θεογονίας ͵αχπ΄.

Τῆς σῆς σοφωτάτης ἐκλαμπρότητος
ταπεινὸς καὶ εὐλαβὴς δοῦλος,
Ἰωάννης Βαπτιστὴς Τυπάλδος.

Voici maintenant l'énumération des pièces dont se compose cette plaquette :

1° Un Éloge de Jean-Baptiste Typaldos à l'adresse de Roxane.

2° Huit vers élégiaques de Nicolas Bouboulis à la louange de Roxane.

3° Huit vers élégiaques de François Mignati à la louange d'Apostolos Rhaspis.

4° Une épigramme (huit vers élégiaques) de Georges Sougdouris à la louange d'Apostolos Rhaspis.

5° Un distique du même au même.

6° Huit vers élégiaques de Nicolas Bouboulis.

7° Quatre vers élégiaques du même.

8° Quatre vers élégiaques d'Argyros Bernardis, Athénien, élève du Collège grec de Rome.

9° Six vers élégiaques du même.

10° Douze vers élégiaques du même.

11° Quatre vers élégiaques de Georges Ophimaque, de Corfou.

12° Un Éloge par Matthieu Typaldos, gymnasiarque des Grecs